www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν παρακλητικὸς εἰς τοὺς Ἁγίους Ἀναργύρους Κοσμᾶν καὶ Δαμιανόν

Ἦχος πλ.δ'.

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἱλαρίωνος Μοναχοῦ*

# Κανὼν παρακλητικὸς εἰς τοὺς Ἁγίους Ἀναργύρους Κοσμᾶν καὶ Δαμιανόν, οὗ ἡ ἀκροστιχίς, κατ' «Ἀλφάβητον», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.δ΄.

*ᾨδὴ Α΄ Ὑγρὰν διοδεύσας.*

Ἀνάργυροι θεῖοι καὶ παμφαεῖς, λύχνοι τῶν θαυμάτων, τὴν ψυχήν μου τὴν ταπεινήν, ἐκ παθῶν χρονίως ἀσθενοῦσαν, ὡς ἰατροὶ ταχινοὶ ἐπισκέψασθαι.

Βεβήλων ἐξ ἔργων μου τὴν ψυχήν, ἅμα καὶ τὸ σῶμα, ἀσθενοῦντα Δαμιανέ, καὶ Κοσμᾶ θεόφρον ὑμῖν πίστει, προσπεφευγότα εὐσπλάγχνως ἰάσασθε.

Γερῶν οὐρανίων παρὰ Χριστοῦ, καταξιωθεῖσα, Ἀναργύρων θεία δυάς, ἐνέδρας δαιμόνων κινουμένας, τὰς κατ' ἐμοῦ ἀεννάως ματαίωσον.

*Θεοτοκίον.*

Ἰσχύν μοι παράσχου ὡς ἀγαθή, Παναγία Κόρη ἀποκρούειν τὰς προσβολάς, παθῶν εἰδεχθῶν καὶ ἐνθυμήσεις, ὅπως θερμῶς σου δοξάζω τὴν δύναμιν.

*ᾨδὴ Γ΄ Σὺ εἶ τὸ στερέωμα.*

Δότε μοι βοήθειαν, δέομαι θεῖοι Ἀνάργυροι, ἐν πειρασμοῖς, περιπεπτωκότα, καὶ πολλαῖς περιστάσεσι.

Ἐπὶ γῆς ἐκτήσασθε, προσωνυμίαν ἐμπρέπουσαν, ὑμῖν σοφοί, τὴν τῶν Ἀναργύρων, ἀναργύρως ἰώμενοι.

Ζάλης με ἐξάρατε, Δαμιανὲ παμμακάριστε, τῆς τῶν παθῶν, καὶ Κοσμᾶ θεόφρον, ὑμῖν πίστει δεόμενον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Θεοτοκίον.*

Λύτρωσαί με Δέσποινα, τὸν Λυτρωτὴν ἡ κυήσασα, ψυχοβλαβοῦς συνηθείας ὅπως, ἀνυμνῶ σου τὴν δύναμιν.

*ᾨδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Ἡ δυὰς ἡ θεόλεκτος, ἀλγηδόνας ἴασαι τὰς τοῦ σώματος, καὶ ψυχῆς μου τὴν κατήφειαν, λῦσον ἱκετεύω σε πίστει εὔσπλαγχνε.

Θησαυρὸς Κοσμᾶ ἔνδοξε, καὶ Δαμιανὲ θεῖε πέλοντες, ἰαμάτων ἀδαπάνητος κἀμὲ ἀσθενοῦντα θεραπεύσατε.

Ἰατροὶ ὡς ὑπάρχοντες, τῶν ψυχῶν Ἀνάργυροι καὶ τοῦ σώματος, μὴ παρίδητε δεόμενον, ἀλλά με κατ' ἄμφω θεραπεύσατε.

*Θεοτοκίον.*

Ἀμελείᾳ Πανάχραντε, τὸν καιρόν μου ἅπαντα παρερχόμενον, τῇ σῇ χάριτι ἀξίωσον, ἀρχὴν ἐπιθεῖναι μεταγνώσεως.

*ᾨδὴ Ε΄ Φώτισον ἡμᾶς.*

Κλίνῃ με δεινῶς, ἀσθενοῦντα κατακείμενον, καὶ τὴν ὑμῶν δεόμενον ἀρωγήν, σώσατε τάχει, Ἀνάργυροι θεοδόξαστοι.

Λάμπετε Κοσμᾶ, τοῖς ἐν κόσμῳ ἐν τοῖς θαύμασι, σὺν τῷ εὐκλεεστάτῳ Δαμιανῷ, τῶν ἀνιάτων παθῶν ἰατροὶ ὑπάρχοντες.

Μάστιγος δεινῆς, νόσου με ἀπολυτρώσατε, ἐξ ἀνιάτου πίστει ὑμᾶς θερμῇ, τῷ δεομένῳ Χριστοῦ τοῦ Θεοῦ, Ἀνάργυροι.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥῶσον ἀγαθή, πρὶν ἡ ὥρα καταλάβῃ με, τῆς τελευτῆς ἐφάψασθαι τῆς ὁδοῦ, τῆς μετανοίας Παρθένε θεοχαρίτωτε.

*ᾨδὴ ΣΤ´ Χιτῶνα μοι παράσχου.*

Νοσούντων ἰατροὶ πανευκλεεῖς, ἅγιοι Ἀνάργυροι, νόσου με ῥώσατε ἀνιάτου, ἐν πίστει ὑμῶν δέομαι.

Ξυστῷ με τῶν εὐχῶν ὑμῶν δεινῆς, νόσου ἀπαλλάξατε, θεῖοι Ἀνάργυροι, τὸν ταλαίπωρον, ὑμᾶς ἐπικαλούμενον.

Οἱ ἔνθερμοι Θεοῦ θεραπευταί, Κοσμᾶ παναοίδιμε, καὶ θεῖε Δαμιανέ, θεραπεύσατέ με, τὸν ἀνιάτως πάσχοντα.

*Θεοτοκίον.*

Ἰὸν τῶν ἀμετρήτων μου παθῶν, Κόρη ἀποκάθαρον, ἐν σοὶ γὰρ ἅπασαν, τῆς σωτηρίας μου, τὴν ἐλπίδα ἀνατέθεικα.

*ᾨδὴ Ζ´ Παῖδες Ἑβραίων.*

Πᾶσιν ἑτοίμως εὐεργέται, καθοράθητε ἀνθρώποις τὰς ἰάσεις, ἀναργύρως σοφοί, παρέχοντες ὡς δοῦλοι, Κυρίου γνησιώτατος, παμμακάριστοι ἀφθόνως.

Ῥοῦς με παθῶν τῶν ὀλεθρίων, παρασύρας εἰς ἀπώλειαν καθέλκει, διὸ πίστει ὑμῖν, Ἀνάργυροι προστρέχω, ἀπαλλαγὴν τῆς κρίσεως, ὅπως ταύτης ἐπιτύχω.

Στύλοι ὡς ὄντες εὐσεβείας, σὺν τοῖς σώμασι ὡράθητε ἰῶντες, καὶ ψυχὰς ἐν ταὐτῷ, Κοσμᾶ Χριστοῦ θεράπον, Δαμιανὲ θεσπέσιε, ξυνωρὶς τρισμακαρία.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὥρα λοιπόν σοι ὦ ψυχή μου, τῆς κακίας σου τὸ ἄχθος ἀπορρίψαι, καὶ ὡς τάχος ὁδοῦ, ἅψασθαι μετανοίας, Θεοῦ Μητρὸς βοήθειαν, ἀεὶ ἐπικαλουμένη.

## *ᾨδὴ Η΄ Τὸν Βασιλέα τῶν οὐρανῶν.*

Τῷ ἀκενώτῳ ὑμῶν Ἀνάργυροι θεῖοι, ἰατρείῳ προστρέχοντι δότε, ἐπαχθοῦς μου νόσου, τὴν ἴασιν ἐν τάχει.

Ὑπὸ παντοίων κατατρυχόμενος νόσων, τῷ ἀμίσθῳ ὑμῶν ἰατρείῳ, ἔνδοξοι προσφεύγω, Ἀνάργυροι ἐν πίστει.

Φιλαδελφίᾳ Κοσμᾶ ἀπρὶξ συνημμένοι, σὺν τῷ θείῳ Δαμιανῷ τῷ ἐνθέῳ, ὤφθητε ἀκέστορες, πᾶσιν ἀναργύρως.

### *Θεοτοκίον.*

Νενεκρωμένην μου τὴν ψυχὴν ἁμαρτίαις, τῷ ἐλέει σου ἐξανάστησον Κόρη, ἡ τὴν τῶν ἀνθρώπων, ἀνάστασιν τεκοῦσα.

## *ᾨδὴ Θ΄ Κυρίως Θεοτόκον.*

Χειρός με θεοφόροι, τοῦ ἀντικειμένου, ἐχθροῦ πρεσβείαις ὑμῶν ἐκλυτρώσατε, Δαμιανὲ σὺν τῷ θείῳ Κοσμᾷ, Ἀνάργυροι.

Ψυχῶν καὶ τῶν σωμάτων, ἰατροὶ ὡς ὄντες, τὸν ἀσθενοῦντα κατ' ἄμφω κἀμοὶ τὴν ἴασιν, δότε πανένδοξοι θεῖοι, Χριστοῦ ἀνάργυροι.

Ὡς τοῦ Χριστοῦ τῷ θρόνῳ, ἀεὶ παρεστῶτες, καθικετεύοντες τοῦτον μὴ παύσησθε, ἐλεηθῆναι ἡμᾶς θεῖοι Ἀνάργυροι.

### *Θεοτοκίον.*

*Ἱλαρίωνος Μοναχοῦ*

Μητέρα σε τοῦ Κτίστου, καθομολογοῦμεν, οἱ ἐν τῷ Ὄρει τοῦ Ἄθω οἰκοῦντες Ἁγνή, καὶ ἐν ᾠδαῖς ἀσιγήτοις σε μεγαλύνομεν.

*Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄.*

Ἔνδοξοι Χριστοῦ Ἀνάργυροι, Δαμιανὲ καὶ Κοσμᾶ, ἀδελφότης ὁμόψυχος, ὄντως καὶ ὁμότροπος, ξυνωρὶς θεοφίλητος, ματαιοτήτων ἡ ἀπορρίψασα, ἄχθος καὶ κούφως ἡ ἐκπετάσασα, πρὸς τὰ οὐράνια, τῷ Δεσπότῃ πρέσβευε ἡμῖν αὐτοῦ, δοῦναι ὡς φιλάνθρωπος τὸ μέγα ἔλεος.

Χάριν ἐκ Θεοῦ δεξάμενοι, τῶν ἰαμάτων κρουνούς, ἐπιχέειν Ἀνάργυροι, τοῖς ἀνθρώποις ἅμα τε, καὶ ἀλόγοις τρισένδοξοι, τῶν δεομένων ὑμᾶς ὡς εὔσπλαγχνοι, ψυχῶν τὰς νόσους καὶ τὰς τοῦ σώματος, τάχει τὴν ἴασιν, τὸν Χριστὸν μιμούμενοι, ὡς ἀληθεῖς, δοῦλοι καὶ θεράποντες, τούτου δωρήσατε.

Θρόνῳ ἐν χαρᾷ μακάριοι, ὡς παρεστῶτες ἀεί, τοῦ Δεσπότου Ἀνάργυροι, τοῦτον ἱκετεύοντες, ἀεννάως μὴ παύσησθε, ἡμᾶς κρισίμων ἐκ περιστάσεων, ἀπολυτρῶσαι ὡς πολυεύσπλαγχνος, καὶ ἀγαθότητι, ἀξιῶσαι ἄφεσιν ἁμαρτιῶν, τῇ αὐτοῦ ὡς Κύριος, καὶ ὡς φιλάνθρωπος.

Ὥρας τῆς φρικτῆς μοι δώρησαι, τῆς τοῦ θανάτου Ἁγνή, τὴν ἐνθύμησιν ἔχεσθαι, ὅπως μακρυνθήσωμαι, τῶν κακῶν μου ὁ δύστηνος, σοὶ γὰρ ἐλπίδα πᾶσαν ἀνέθηκα, τῆς σωτηρίας μου ὁ ταλαίπωρος, ὡς οἶδας Δέσποινα, καὶ ὡς βούλει δέομαι ἐπιμελῶς, ταύτῃ ἀεὶ δώρησαι Κόρη ἐμμένειν με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ